Abigail Torre Beivide
(Universidad de Oviedo)
(FICYT: BP-14070)
torreabigail@uniovi.es
XXV Jornadas de Filología Clásica

# El segundo bronce de Temistio

(La tradición literaria griega en los ss. III-IV d.C. Gramáticos, rétores y sofistas como fuentes de la literatura greco-latina II)

**1. Themistius, *Oratio* 4.54b:**

φιλόλογος γὰρ οὐχ ἧττόν ἐστιν ἢ φιλοπόλεμος καὶ τὰ ξένια τῶν Μουσῶν οὐκ ἀτιμότερα τῶν τοῦ Ἡφαίστου ποιεῖται. καὶ ταῦτα ἐγὼ οὐ μαντευόμενος λέγω, γιγνώσκων δὲ ὅτι καὶ πρώην οὐ χρυσοῦν δή τινα στέφανον χρυσοῦ ἀπέφθου πολλῶν ταλάντων, οἷοι πολλοὶ αὐτῷ ἀφικνοῦνται καὶ πολλαχόθεν, πέμπει ὑμῶν ψηφισαμένων, ἀλλ' ὃν ἐγὼ ἐπλεξάμην, ἄνθη ἀκήρατα συλλεξάμενος ἐκ τῶν Πλάτωνος καὶ Ἀριστοτέλους λειμώνων, καὶ ἔδειξα τῇ βουλῇ καὶ τῷ δήμῳ ἐν τῷ αὐτῷ τούτῳ θεάτρῳ, εὐφράνθη τε ὡς οὐκ ἄλλῳ δώρῳ καὶ περὶ πολλοῦ ἐποιήσατο· καὶ ἡ χαλκῆ εἰκὼν ἐξ ἐκείνου τοῦ ᾄσματος.

**2. Themistius, *Oratio* 17.214b**:

Καὶ παρατρέχει τοὺς πρότερον αὐτοκράτορας ἀντὶ τῶν δυοῖν ἀνδριάντων καὶ τῶν συνεχῶν παρεδριῶν, ἐνεργῷ τιμῇ καὶ τηλικαύτῃ κοσμῶν τε ἡμᾶς καὶ παρ' ἡμῶν κοσμεῖσθαι καταναγκάζων, οὐκ ἔπηλυν οὐδὲ ὀθνεῖον τὸν ἄρχοντα τῆς πόλεως τῆς βασιλίδος χειροτονῶν, ἀλλ' ἐγγενῆ καὶ ἐντεθραμμένον ὑμῖν καὶ ἐναυξηθέντα καὶ ἐνοικοῦντα, ὡς μηδὲν εἶναι τῆς παρούσης ἀρχῆς ἀγαθόν, ὃ μὴ κοινὸν ἁπάντων ἀναφανεῖται. οὐκοῦν οὐδὲ ἐμοὶ θεμιτὸν ἦν ἀπώσασθαι ταύτην τὴν ψῆφον.

**3. Themistius, *Oratio* 31.353a:**

Καὶ τὰ κεφάλαια τῶν κατορθωμάτων ἐκείνων ὑμῖν μὲν ἴσως μεμνῆσθαι καλόν, ἡμῖν δὲ ἐπιλελῆσθαι. ἐφ' οἷς ἅπασι τὰς πρεπούσας τιμὰς καὶ παρ' ὑμῶν καὶ παρὰ τῶν αὐτοκρατόρων ὥσπερ ἆθλα εὐμενῶς προσιέμην… καὶ διὰ τοῦτο οὐδὲ πρὸς τὰς χαλκᾶς ἐδυσκόλανα τὰς δύο ταύτας εἰκόνας, οὐδὲ όπηνίκα πάροχον ἑαυτῷ ποιεῖσθαι δεῖν ᾤετό με ὁ αὐτοκράτωρ, οὐδὲ ὅτε τὰς δέλτους ἐδίδου τὰς πολυθρυλήτους· οἷς μὲν οἷοί τε ἦσαν τιμᾶν τοὺς φιλοσοφοῦντας οἱ βασιλεύοντες ἐφιείς…

**4. Themitius, *Oratio* 34.13:**

Ἐξ ἐκείνου τῆς προστασίας ταύτης ἡπτόμην, ἐξ ὅτου με πρεσβεύειν εἰς τὴν ἀοίδιμον Ῥώμην ἐχειροτονεῖτε καὶ πρὸς τὸν παῖδα ἐστέλλετε τὸν Κωνσταντίνου. ἐξ ἐκείνου προεκηδόμην τοῦ δήμου, ἐξ ὅτου τὸ σιτηρέσιον ἐπανήγαγον. ἐξ ἐκείνου τῆς γερουσίας προὐνόουν, ἐξ ὅτου τὸν κατάλογον τῶν ὁμογενῶν ἀντὶ μόλις τριακοσίων ἐπλήρουν εἰς δισχιλίους· ἐξ ὧν δύομὲν αἵδε χαλκαῖ παρὰ δυοῖν

αὐτοκρατόρων εἰκόνες, τιμαὶ δὲ ἐν γράμμασι διωλύγιαι, παρακλήσεις δὲ ἐπὶ τὴν ἀρχὴν ταύτην οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ πολλάκις.

**5. Themistius, *Oratio* 11.146a-b:**

ἢ ἔχοι τις ἂν εἰπεῖν ἐφ' ὅτου μᾶλλον ἤνθησάν τε καὶ ἐξέλαμψαν οὗτοι οἱ λόγοι, οἵ γε συμπερινοστοῦσι τῷ βασιλεῖ καθάπερ συστρατιῶται, καὶ τίμιοι δι' αὐτὸν καὶ αἰδοῖοι οὐ Ῥωμαίοις μόνον καὶ Ἕλλησιν, ἀλλὰ καὶ βαρβάροις. ὁ γοῦν Σκύθης ἢ Γέτης ἐκεῖνος δυνάστης, ὃν σὺ παρα κινήσαντα κατεπλήξω καὶ καταπτήξαντα ἀνεκαλέσω… **καὶ χαλκαῖ μὲν αὗται εἰκόνες †ἐπὶ στέατος†[1] τοῦ μεγάλου**, προεδρίαι δὲ ἁπανταχοῦ, ἀποικίαι δὲ εἴς τε πόλεις τὰς δεομένας, καὶ διδασκαλείων προοράσεις ἐκλελοιπότων, καὶ τιμαὶ διωλύγιοι εἰς[2] τοὺς κριθέντας ἐπιτηδείους.

1 ἐπὶ στέατος A : ἐπὶ* στέαυτος leg. Hard. (ἐπὶ σεαυτοῦ coni.) // 2 αὗται ‹αἱ› εἰκόνες ἐπι ψηφίσαντος του μεγάλου ‹συνεδρίου› (vel ἐπ' ὄμμασι Κωνσταντίνου τοῦ μεγάλου i.e. in foro C. M.)… δεομένας, ‹προστιθέασι μὲν κλεός› … καὶ τιμαὶ διωλύγιοί ‹εἰσιν› εἰς κτλ. Re.

## BIBLIOGRAFÍA


BARET, E., *De Themistio sopista et apud imperatores oratore*, París 1853.

BRAUCH, TH., "The Prefect of Constantinople for 362 AD: Themistius", *Byzantion* 63 (1993), pp. 37-78.

- "Themistius and the Emperor Julian", *Byzantion* 63 (1993), pp. 79-115.

DAGRON, G., "L' empire romain d' Orient au IVe siècle et les traditions politiques de l'helenisme. Le temoignage de Thémistios", *Travaux et Mémoires* 3 (1968), pp.1-242.

DALY, L. J., "Themistius' Refusal of a Magistracy", *Byzantion* 53 (1983), pp. 164-212.

HEATHER, P.; MONCUR, D., *Politics, Philosophy, and Empire in the Fourth Century. Select orations of Themistius*, Liverpool 2001.

MAISANO, R., *Discorsi di Temistio*, Turín1995.

PENELLA, R. J., *The Private Orations of Themistius*, Berkeley 2000.

RAIMONDI, M., "Temistio e la prima guerra gotica di Valente", *MedAnt*. III 2 (2000), pp. 633-683.

RIPOLL, E.; BRUNEAU, P.; TORELLI, M.; BARRAL I ALTET, X., *La escultura. El prestigio de la Antigüedad. Desde los orígenes al siglo V d.C.*, Barcelona 1991.

SEECK, O., *Die Briefe des Libanius zeitlich geordnet, Texte und Untersuchungen*, Leipzig 1906.

STEGEMANN, W., "Themistios 2", *Pauly Realencyclopädie der Altertumswissenschaft* 5 A 2 (1934), cols. 1642-1680.

VANDERSPOEL, J., *Themistius and the Imperial Court. Oratory, Civic duty and Paideia from Constantius to Theodosius*, Michigan 1995.